ps SCYMN. 337-60

Ἦν καὶ πρότερον μέγιστον ἐξυμνημένη
πόλις μεγάλη, βαρεῖα, πλουσία, καλή,
ἀπὸ τοῦ ποταμοῦ Συβάριδος ὠνομασμένη
Σύβαρις, Ἀχαιῶν ἐπιφανὴς ἀποικία,
δέκα μυριάδας ἔχουσα τῶν ἀστῶν σχεδὸν
περιουσίᾳ πλείστῃ τε κεχορηγημένη·
οἱ δὴ παρεξαρθέντες οὐκ ἀνθρωπίνως
αὔτανδρον ἐξέφθειραν ἐπιφανῆ πόλιν,
τἀγαθὰ τὰ λίαν μὴ μαθόντες εὖ φέρειν.
Λέγεται γὰρ αὐτοὺς μήτε τοῖς νόμοις ἔτι
τοῖς τοῦ Ζαλεύκου τἀκόλουθα συντελεῖν,
τρυφὴν δὲ καὶ ῥᾴθυμον ἑλομένους βίον
χρόνῳ προελθεῖν εἰς ὕβριν τε καὶ κόρον,
σπεῦσαι δὲ καὶ τὸν τῶν Ὀλυμπίων ὅπως
ἀγῶνα καταλύσωσι, τάς τε τοῦ Διὸς
ἀνέλωσι τιμὰς τῇδε τῇ παρευρέσει·
ἀδρόμισθον * Διὶ γυμνικόν τιν' ἐπετέλουν
κατὰ τὸν χρόνον τὸν αὐτὸν Ἠλείοις, ἵνα
πᾶς τις πρὸς αὐτοὺς τοῖς ἐπάθλοις ἀγόμενος
σπεύδῃ καταντᾶν, ἀπολιπὼν τὴν Ἑλλάδα.
Κροτωνιᾶται πλησίον δὲ κείμενοι
κατὰ κράτος αὐτοὺς ἦραν ἐν βραχεῖ χρόνῳ
τὰ πάντα διαμείναντας ἀπταίστως ἔτη
ὡς ἑκατὸν ἐνενήκοντα πρὸς τοῖς εἴκοσι.

pseudo-Scimno vv. 337-60

Fuit olim etiam maxime celebrata
urbs magna, gravis, opulenta, pulcra,
a Sybaride fluvio nuncupata,
Sybaris Achæorum illustris colonia,
decem fere myriades habens civium,
copiaque rerum plurima instructa;
at elati isti humanum extra modum,
totam cum incolis perdiderunt claram urbem,
bona nimia nescientes recte ferre.
Aiunt enim eos haud amplius legibus
Zaleuci consentanea peregisse,
luxum vero et ignavam eligentes vitam,
tempore prolapsos esse in injuriam et insolentiam,
et operam etiam dedisse, ut Olympicum
certamen dissolverent, Jovisque
tollerent honores commento hujusmodi:
largæ mercedis certamen gymnicum quoddam
Jovi instituerunt eodem tempore quo Elei,
ut quisque ad ipsos præmiis certaminis ductus
studeret accurrere, deserens Græciam.
Crotoniatæ autem, prope siti,
vi et armis eos sustulerunt brevi tempore,
postquam in summa permanserant sine offensione
per annos circiter ducentos atque decem.